A πος. ἢ ὁ τρίβων. Ἀλλὰ κατάθου τὸ βέλος.] σημειωτέον ὅτι ἐπὶ ξίφους τὸ βέλος τέθεικε καὶ Ὅμηρος πᾶν τὸ βαλλόμενον. Ὡς ὅδε γε σειστός.] χορεύουσιν ἅμα καὶ κόρδακα ἐνδείκνυνται. τὸ λεγόμενον οὕτως ἐπὶ τῆς κωμικῆς ὀρχήσεως. ἀναστρεφόμενοι δὲ, ἀποτινάσσουσι τοὺς χιτῶνας, καὶ ἀποδεικνύντες ὡς μηδένα τῶν λίθων ἀποκεκρυμμένον ἔχουσι. λέγεται δὲ στροφὴ, τῶν κώλων τὸ σύστημα. γράφεται καὶ στρόφιγγι. Ἐμέλλετ' ἄρα.] ἠθικώτατα B καὶ ἥδιστα πρὸς τοὺς ἐν τῷ λάρκῳ ἄνθρακας διαλέγεται, λέγων ὅτι ἐμέλλετε μετὰ βοῆς ἀνασείειν, ὡς τοῦ λάρκου ῥήξεως μετὰ βοῆς μελλούσης γίνεσθαι. ἐμέλλετ' ἄρα πάντες. ὑφ' ὃ διπλῆ καὶ ἐν εἰσθέσει στίχοι ἰαμβικοὶ ια'. Ἄνθρακες Παρνάσιοι.] ἀντὶ τοῦ μεγάλοι. Πάρνης γὰρ ὄρος τῆς Ἀττικῆς χορηγίαν ἔχον πολλῶν ξύλων. ἔπαιξεν οὖν Παρνασίους εἰπὼν, ὡς ἀπὸ τόπου Παρνασοῦ τὴν λέξιν παραγαγὼν, ἵνα ὑποδηλώσῃ τοὺς ἱερούς. ὁ γὰρ Παρνασὸς, ὄρος Φωκίας ἐστὶ ἱερὸν Ἀπόλλωνος καὶ Διονύσου. Παρνάσιοι. ἀντὶ τοῦ μεγάλοι. τὸ γὰρ Παρνασὸν ἐπὶ C A τοῦ μεγάλου ἐτίθεσαν. οἱ δὲ τοὺς ἀπὸ Πάρνηθος τοῦ ὄρους τῆς Ἀττικῆς ἄνθρακας. Ὑπὸ τοῦ δέους τῆς μαρίλης.] ἡ ἐξ ἀνθράκων τέφρα, μαρίλη λέγεται. μαρίλης οὖν, ἀντὶ τοῦ τῆς ἀπὸ τῶν ἀνθράκων σποδιᾶς, ἐπαφῆκεν ὁ λάρκος ὑπὸ ἀγωνίας, ὥσπερ ἡ σηπία τὸ μέλαν. θηρώμεναι γὰρ αἱ σηπίαι, ἐπαφιᾶσιν ἐκ τοῦ προσόντος αὐταῖς μέλανος ταράττειν βουλόμεναι τὸν παρ' αὐταῖς τόπον ἵνα μὴ καταφανεῖς ὦσι τοῖς θηρῶσιν. B Ὀμφακίαν.] ἀντὶ τοῦ ὠμόν. σκληρόν. μεταφορικῶς ἀπὸ τῶν ὀμφάκων. οὕτω δὲ αἱ σταφυλαὶ δριμεῖαι οὖσαι, καὶ οὔπω πέπειροι. ἐκ γὰρ τοῦ ἐναντίου, πέπανον τὸ ἥμερον καὶ ἡδύ. θηλυκῶς δὲ καὶ τοὺς ὄμφακας λέγει. ἔχεις παρὰ Πλάτωνι, τῷ κωμικῷ ἐν δράματι ἑορταῖς. καὶ τὰς ὀφρῦς χάλασθε καὶ τὰς ὄμφακας. Μηδὲν ἴσον ἴσῳ.] ἀντὶ τοῦ δίκαιον καὶ ἐξ ἴσου. ἀπὸ μεταφορᾶς τοῦ κιρναμένου οἴνου πρὸς ὕδωρ ἴσον. λέγει δὲ κατ' ἴσον εἰπεῖν τε καὶ ἀκοῦσαι. Ἐμοῦ θέλοντος.] τὸ ἑξῆς οὕτως. ἐμοῦ θέλοντος ὑπὲρ ἐπιξήνου λέγειν πάντα ὅσ' ἂν C λέγω ὑπὲρ Λακεδαιμονίων.

## ΣΤΡΟΦΗ κώλων η'.

Χο. Τί οὖν οὐ λέγεις τοὐπίξηνον,
Ἐξενεγκὼν θύραζ',
Ὅ,τι ποτ' ὦ σχέτλιε,
Τὸ μέγα τοῦτ' ἔχεις;
Πόθος γάρ πάνυ με
Ὅ,τι φρονεῖς ἔχει.
Ἀλλ' ᾗπερ αὐτὸς τὴν δίκην διώρισω,
Θεὶς δεῦρο τοὐπίξηνον, ἐγχείρει λέγειν.

## STROPHE.

CH. *Quid ergo habes, quod in mensa*
*Tu coquinaria*
*Miser homo proferas*
D *Commemorabile?*
*Nimis scire equidem,*
*Tua placita expeto.*
*Sed, ut tute ipse tibi pœnam decreueras,*
*Huc pone mensam, & aggredere verba facere.*

Σχόλια. Τί οὖν οὐ λέγεις.] διπλῆ καὶ εἴσθεσις εἰς περίοδον τοῦ χορικοῦ πεντάκωλον δοχμιαίαν. ὧν διπλῶν μὲν τῶν δύο πρώτων. ἁπλῶν δὲ τριῶν τὸ λοιπόν. ἄλλως. εἴσθεσις χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντίστροφον τὴν τί ταῦτα στρέφεις. καὶ ἔστιν ἐκ κώλων παιωνικῶν ἓξ, ἐπιμεμιγμένων κρητικοῖς καὶ βακχείοις. ὧν τὸ πρῶτον τρίμετρον καταληκτικὸν ἐκ βακχείων. τὸ δεύτερον δίμετρον ἀκατάληκτον ἐκ κρητικῶν. τὸ τρίτον δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές. τὸ τέταρτον ἡμιόλιον ἤτοι δίμετρον βραχυκατάληκτον. τὸ ε' δίμετρον καταληκτικὸν ἐκ βακχείου. τὸ ς' ἡμιόλιον ὅμοιον τῷ τετάρτῳ. ἐν ἐκθέσει δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀ- E καταληκτοι β' ὅμοιοι τοῖς ἑξῆς ιθ'. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. Ἀλλ' ᾗπερ.] τὸ ᾗπερ, ἀντὶ τοῦ ὥσπερ, καθάπερ.

## ΣΥΣΤΗΜΑ κατὰ περικοπὴν στίχων ιθ'.

Δι. Ἰδοὺ θεᾶσθε, τὸ μὲν ἐπίξηνον, τοδί,
Ὁ δ' ἀνὴρ ὁ λέξων οὑτοσὶ, τυννουτοσί,
Ἀμέλει, μὰ τὸν Δί' οὐκ ἐνασπιδώσομαι.
Λέξω δ' ὑπὲρ Λακεδαιμονίων ἅ μοι δοκεῖ.
Καίτοι δέδοικα πολλά. τούς τε γὰρ τρόπους
Τοὺς τῶν ἀγροίκων οἶδα χαίροντας σφόδρα,
Ἐάν τις αὐτοὺς εὐλογῇ, καὶ τὴν πόλιν,
Ἀνὴρ ἀλαζὼν καὶ δίκαια, κἄδικα,
Κἀνταῦθα λανθάνουσ' ἀπεμπολώμενοι,
Τῶν τ' αὖ γερόντων οἶδα τὰς ψυχὰς, ὅτι

## SYSTEMA PER PERICOPEN,

DI. *Ehem spectate, hæc est mẽsa coquinaria:*
F *Qui dicet hic est, vir tantillus: bono animo es:*
*Ego, per Iouem, nunc clypeo nõ induar,*
*Sed pro Lacedæmonÿs dicam, ut mihi lubet:*
*Licet admodum metuam mihi. Nã mores ego*
*Noui agricolarum, delectantur admodum,*
*Si quis eos laudet, & simul urbem prædicet,*
*Homo arrogans, per fas atque nefas. Interim*
*His blanditiis non se aduertunt venundari.*
*Noui etiam horum senum qui sit animus. Nihil*

Σχόλια. Ἰδοὺ θεᾶσθε.] ἀφ' ἑαυτοῦ ταῦτα ὁ Δικαιόπολις λέγει. διὰ δὲ τῶν λελεγμένων ὁ κωμικὸς ἡμᾶς παιδεύει, ὡς χρὴ τοὺς λέγοντας οὐκ ἀπὸ τοῦ μεγέθους τῶν σκωμμάτων σκοπεῖν, ἀλλ' ἐπ' ἐκεῖνα ἀφ' ὧν λέγειν ἔμελλον. τὸ δὲ τυννουτοσὶ, δεικνὺς τὸν δάκτυλον τὸ μικρὸν λέγει. Οὐκ ἐνασπιδώσομαι.] ἀντὶ τοῦ οὐ καθοπλίσομαι. οὐκ ἀσπίδι περιβαλοῦμαι σεμνυνόμενος. ἢ G σκευασθήσομαι. ἐπεὶ βραχύς εἰμι. βούλεται δὲ εἰπεῖν, ὅτι οὐ παρασκευάσομαι ἐπὶ πολύ. Ἀνὴρ ἀλαζών.] διαβάλλει τοὺς ῥήτορας. Ἀπεμπολώμενοι.] πιπρασκόμενοι διὰ τῆς κολακείας. τοῦτο δέ φησι. διὰ τὸ εὐχερῶς πείθεσθαι τοῖς ῥήτορσι τοὺς Ἀθηναίους, ἀπατῶσιν αὐτούς. Τῶν τ' αὖ γερόντων οἶδα.] τῆς τε γερόντων φιλοδικίας, καὶ τῆς περὶ τὸ καταγινώσκειν ἑτοιμότητος ὅλον.